ΣΕΙ. Ὦ Βρόμιε, διὰ σὲ μυρίους ἔχω πόνους
νῦν χὤτ᾽ ἐν ἥβῃ τοὐμὸν εὐσθένει δέμας·
πρῶτον μέν, ἡνίκ᾽ ἐμμανὴς Ἥρας ὕπο
Νύμφας ὀρείας ἐκλιπὼν ᾤχου τροφούς·
ἔπειθ᾽, ὅτ᾽ ἀμφὶ γηγενῆ μάχην δορὸς
ἐνδέξιος σῷ ποδὶ παρασπιστὴς γεγὼς
Ἐγκέλαδον ἰτέαν μέσην θενὼν δορὶ
ἔκτεινα. φέρ᾽ ἴδω, τοῦτ᾽ ἰδὼν ὄναρ λέγω;
οὐ μὰ Δί᾽, ἐπεὶ καὶ σκῦλ᾽ ἔδειξα Βακχίῳ.
καὶ νῦν ἐκείνων μεῖζον᾽ ἐξαντλῶ πόνον.
ἐπεὶ γὰρ Ἥρα σοι γένος Τυρσηνικὸν
ληστῶν ἐπῶρσεν, ὡς ὁδηθείης μακράν,
ἐγὼ πυθόμενος σὺν τέκνοισι ναυστολῶ
σέθεν κατὰ ζήτησιν. ἐν πρύμνῃ δ᾽ ἄκρᾳ
αὐτὸς λαβὼν εὔθυνον ἀμφῆρες δόρυ,
παῖδές τ᾽ ἐρετμοῖς ἥμενοι γλαυκὴν ἅλα
ῥοθίοισι λευκαίνοντες ἐζήτουν σ᾽, ἄναξ.
ἤδη δὲ Μαλέας πλησίον πεπλευκότας
ἀπηλιώτης ἄνεμος ἐμπνεύσας δορὶ
ἐξέβαλεν ἡμᾶς τήνδ᾽ ἐς Αἰτναίαν πέτραν,
ἵν᾽ οἱ μονῶπες ποντίου παῖδες θεοῦ
Κύκλωπες οἰκοῦσ᾽ ἄντρ᾽ ἔρημ᾽ ἀνδροκτόνοι.
τούτων ἑνὸς ληφθέντες ἐσμὲν ἐν δόμοις

5. ἔπειθ᾽ ὅτ᾽] Hermannus, ἔπειτά γ᾽ libri. 7. ἰτέαν] Elmsleyus, εἰς ἰτέαν libri. 13. πειθόμενος B ἐγὼ πυθόμενος C